ΠΑΛΛΑΔΙΟΥ,
ΠΕΡΙ ΤΩΝ
ΤΗΣ ΙΝΔΙΑΣ ΕΘΝΩΝ
Καὶ τῶν
ΒΡΑΓΜΑΝΩΝ.

PALLADIUS
De Gentibus *INDIÆ*
ET
BRAGMANIBUS.

S. *AMBROSIUS*
De Moribus BRACHMANORUM.

ANONYMUS
De BRAGMANIBUS.

Quorum Priorem & Postremum nunc primum in lucem protulit
Ex Bibliotheca Regia
EDOARDUS BISSÆUS Eques Auratus,
& titulo CLARENCII Rex Armorum.

LONDINI,
Excudebat *T. Roycroft*, Regiæ Majestatis in Linguis Orientalibus Typographus. *Anno Domini* M DC LXV.

ΠΑΛΛΑΔΙΟΥ,

ΠΕΡΙ ΤΩΝ

ΤΗΣ ΙΝΔΙΑΣ ΕΘΝΩΝ

Καὶ τῶν

ΒΡΑΓΜΑΝΩΝ.

PALLADIUS

De Gentibus INDIÆ

ET

BRAGMANIBUS.

S. AMBROSIUS

De Moribus BRACHMANORUM.

ANONYMUS

De BRAGMANIBUS.

Quorum Priorem & Postremum nunc primum in lucem protulit

Ex Bibliotheca Regia

EDOARDUS BISSÆUS Eques Auratus,

Stemmate Clarencii Rex Armorum.

LONDINI,

Excudebat T. Roycroft, Regiæ Majestatis in Linguis Orientalibus Typographus. Anno Domini M DC LXV.



Honoratissimo Illustrissimoque *D. D.*

EDOARDO HIDE

EQUITI AURATO,

CLARENDONIÆ Comiti, CORNBURIÆ Vicecomiti, Baroni HINDONIÆ, Summo *ANGLIÆ*, necnon Almæ *Oxoniensis Academiæ* Cancellario, *Sacræ Majestati Regiæ* a Secretioribus Consiliis.



I pares essent Dignitate hi Sermones (Illustrissime Domine) *Philosophiæ, & Philosophis, de quibus pertractant, eos Tuis oculis haud prorsus indignos auderem affirmare. Nam ut antiquissimi, sic Philo-*

sophorum omnium optimi erant BRACHMANES. Lucianus, *qui non cuiquam Philosophorum parcit, illos vocat* γένος ἄριστον, *nec alius præter id hominum genus Philosophis annumerare dignatur. Tantum facis quamquam nomen mereatur Eruditionis, cujus Tu (Eruditorum omnium Amor & Deliciæ) principem locum tenes, ut Literatos omnes, qui sunt in aliquo pretio, Amore digneris & Patrocinio. Tuo Nomini hæc nuncupanda vel ideo duxi, ut quod à se non habent, per Te habere inciperent, & ex Tua Dignitate mutuarentur quod ab Editoris merito haudquaquam nancisci potuerunt. Multa enim (inquit Ille) idcirco pretiosa sunt, quia Templis sunt dicata. Hoc jam quali quali functus Officio, de Familiis* Nobilitatis Anglicanæ, *(tanto magis memorandæ, quo diutius Decessorum Tabulis neglectæ,) aliquid dicere serio accingor. Nam licet numero Imaginum, claritate Prosapiæ & antiquitate Stemmatum (inter quæ Tuum merito numerandum) exteris Nationibus non cedimus, atta-*

men aut minimum, aut nihil hisce de rebus compertum habent quicunque sub alio cœlo quam nostro vivunt. Cæterum, si quid opera nostra desudaverit in eorum gratiam, id totum Tibi acceptum referre par est. Profiteor enim ingenue, me, nisi ut Tuæ inservirem Familiæ, quæ me quasi mancipio & nexu, Tuis ingentibus Beneficiis, devinctum tenet, nunquam fuisse ut huic Operi vacarem. Namque Tui Favores, quibus jure glorior, tot & tanti fuerunt, ut tantum superent omnem grati animi significationem, quantum excedunt merita mea. Tuæ Benignitati debentur, nullo nostro merito provocatæ, quæ cum insita & ingenita naturæ Tuæ alienari non possit, Favoris & Præsidii in perpetuum sum securus.

Illustrissimæ Amplitudini Tuæ

Devotissimus

EDOARDUS BISSÆUS
CLARENCEUX.

men aut minimum, aut nihil hisce de rebus compertum habent quicunque sub alio cœlo quam nostro vivunt. Cæterum, si quid opera nostra desudaverit in eorum gratiam, id totum Tibi acceptum referre par est. Profiteor enim ingenue, me, nisi ut Tuæ inservirem Familiæ, quæ me quasi mancipio & nexu, Tuis ingentibus Beneficiis, devinctum tenet, nunquam fuisse ut huic Operi vacarem. Namque Tui Favores, quibus jure glorior, tot & tanti fuerunt, ut tantum superent omnem grati animi significationem, quantum excedunt merita mea. Tuæ Benignitati debentur, nullo nostro merito provocatæ, quæ cum insita & ingenita naturæ Tuæ alienari non possit, Favoris & Præsidii in perpetuum sum securus.

Illustrissimæ Amplitudini Tuæ

Devotissimus

EDOARDUS BISSÆUS

CLARENCEUX.



DE

Brachmanibus, *ſive* Gymnoſophiſtis, *Teſtimonia* VETERUM.

STRABO lib. 15.



ΛΛΗΝ δὲ διαίρεσιν ποιεῖται [Μεγασθένης] περὶ τῶν φιλοσόφων, δύο γένη φάσκων, ὧν τοὺς μὲν Βραχμᾶνας καλεῖ, τοὺς δὲ Γερμᾶνας. Τοὺς δὲ μὲν οὖν Βραχμᾶνας εὐδοκιμεῖν, μᾶλλον γὰρ καὶ ὁμολογεῖν ἐν τοῖς δόγμασιν· ἤδη δ' εὐθὺς καὶ κυομένους ἔχειν ἐπιμελητὰς λογίους ἄνδρας· οὓς προσιόντας λόγον μὲν ἐπᾴδειν δοκεῖν καὶ τὴν μητέρα καὶ τὸν κυόμενον εἰς εὐτεκνίαν· τὸ δ' ἀληθὲς, σωφρονικάς τινας παραινέσεις καὶ ὑποθήκας διδόναι· τὰς δὲ ἥδιστα ἀκροωμένας μᾶλλον εὐτέκνους εἶναι νομίζεσθαι. Μετὰ δὲ τὴν γένεσιν ἄλλους καὶ ἄλλους

διαδέχεσθαι τὴν ἐπιμέλειαν, ἀεὶ τῆς μείζονος ἡλικίας χαριεστέρων
τυγχανούσης διδασκάλων. Διατρίβειν δὲ τοὺς φιλοσόφους ἐν ἄλσει
πρὸ τῆς πόλεως ὑπὸ περιβόλῳ συμμέτρῳ λιτῶς ζῶντας ἐν στι-
βάσι καὶ δοραῖς, ἀπεχομένους ἐμψύχων καὶ ἀφροδισίων, ἀκροωμένους
λόγων σπουδαίων, μεταδιδόντας καὶ τοῖς ἐθέλουσι. τὸν δ᾽ ἀκροώμε-
νον οὔτε λαλῆσαι θέμις, οὔτε χρέμψασθαι, ἀλλ᾽ οὐδὲ πτύσαι, ἢ ἐκ-
βάλλεσθαι τῆς συνουσίας τὴν ἡμέραν ἐκείνην ὡς ἀκολασταίνοντα.
Ἔτη δ᾽ ἑπτὰ καὶ τριάκοντα οὕτως ζήσαντα ἀναχωρεῖν εἰς τὴν ἑαυτοῦ
κτῆσιν ἕκαστον, καὶ ζῆν ἀδεῶς καὶ ἀνειμένως μᾶλλον, σινδονοφο-
ροῦντα καὶ χρυσοφοροῦντα μετρίως ἐν ταῖς χερσὶ καὶ τοῖς ὠσί,
προσφερόμενον σάρκας, μηκέτι τῶν πρὸς τὴν χρείαν συνεργῶν
ζώων δριμέων καὶ ἀρτυτῶν ἀπεχόμενον. Γαμεῖν δ᾽ ὅτι πλείστας
εἰς πολυτεκνίαν· ἐκ πολλῶν γὰρ καὶ τὰ σπουδαῖα πλείω γίνεσθαι·
ἀναδουλοῦσί τε τὴν ἐκ τέκνων ἣν μὴ ἔχωσι δούλους ὑπηρεσίαν, ἐγγυ-
τάτω οὖσαν πλείω δεῖν παρασκευάζεσθαι. Ταῖς δὲ γυναιξὶ ταῖς γα-
μεταῖς μὴ συμφιλοσοφεῖν τοὺς Βραχμᾶνας· εἰ μὲν μοχθηραὶ γί-
νοιντο, ἵνα μή τι τῶν θεμιτῶν ἐκφέροιεν εἰς τοὺς βεβήλους· εἰ δὲ σπου-
δαῖαι, μὴ καταλείποιεν αὐτούς. Οὐδένα γὰρ ἡδονῆς καὶ πόνου κα-
ταφρονοῦντα, ὡς δ᾽ αὔτως ζωῆς καὶ θανάτου, ἐθέλειν ὑφ᾽ ἑτέρῳ εἶναι·
τοιοῦτον δ᾽ εἶναι τὸν σπουδαῖον καὶ τὴν σπουδαίαν. Πλείστους δ᾽ αὐ-
τοῖς εἶναι λόγους περὶ θανάτου· νομίζειν μὲν γὰρ δὴ τὸν μὲν ἐνθάδε
βίον ὡς ἂν ἀκμὴν κυομένων εἶναι· τὸν δὲ θάνατον γένεσιν εἰς τὸν
ὄντως βίον, καὶ τὸν εὐδαίμονα τοῖς φιλοσοφήσασι· διὸ τῇ ἀσκήσει
πλείστῃ χρῆσθαι πρὸς τὸ ἑτοιμοθάνατον· ἀγαθὸν δὲ ἢ κακὸν μηδὲν
εἶναι τῶν συμβαινόντων ἀνθρώποις· οὐ γὰρ ἂν τοῖς αὐτοῖς τοὺς μὲν
ἄχθεσθαι, τοὺς δὲ χαίρειν, ἐνυπνιώδεις ὑπολήψεις ἔχοντας· καὶ τοὺς
αὐτοὺς τοῖς αὐτοῖς τοτὲ μὲν ἄχθεσθαι, τοτὲ δ᾽ αὖ χαίρειν μεταβαλ-
λομένους. τὰ δὲ περὶ φύσιν, τὰ μὲν εὐήθειαν ἐμφαίνειν φησίν· ἐν

ἔργοις

ἔργοις γὰρ αὐτοὺς κρείττους ἢ λόγοις εἶναι, διὰ μύθων τὰ πολλὰ πιστουμένους. Περὶ πολλῶν δὲ τοῖς Ἕλλησιν ὁμοδοξεῖν· ὅτι γὰρ γενητὸς ὁ κόσμος καὶ φθαρτὸς λέγειν κἀκείνους, καὶ ὅτι σφαιροειδής· ὅ,τε διοικῶν αὐτὸν καὶ ποιῶν θεὸς δι' ὅλου διαπεφοίτηκεν αὐτοῦ. ἀρχαὶ δὲ τῶν μὲν συμπάντων ἕτεραι, τῆς δὲ κοσμοποιίας τὸ ὕδωρ· πρὸς δὲ τοῖς τέτταρσι στοιχείοις πέμπτη τίς ἐστι φύσις ἐξ ἧς ὁ οὐρανὸς καὶ τὰ ἄστρα· γῆ δ' ἐν μέσῳ ἵδρυται τοῦ παντός. καὶ περὶ σπέρματος δὲ καὶ ψυχῆς ὅμοια λέγεται, καὶ ἄλλα πλείω. παραπλέκουσι δὲ καὶ μύθους, ὥσπερ καὶ Πλάτων, περί τε ἀφθαρσίας ψυχῆς καὶ τῶν καθ' ᾅδου κρίσεων, καὶ ἄλλα τοιαῦτα. Περὶ μὲν τῶν Βραχμάνων ταῦτα λέγει. Τοὺς δὲ Γερμᾶνας, τοὺς μὲν ἐντιμοτάτους Ὑλοβίους φησὶν ὀνομάζεσθαι, ζῶντας ἐν ταῖς ὕλαις ἀπὸ φύλλων καὶ καρπῶν ἀγρίων, ἐσθῆτος δὲ φλοιῶν δενδρίνων, ἀφροδισίων χωρὶς καὶ οἴνου. τοῖς δὲ βασιλεῦσι συνεῖναι δι' ἀγγέλων πυνθανομένοις περὶ τῶν αἰτίων, καὶ δι' ἐκείνων θεραπεύουσι καὶ λιτανεύουσι τὸ θεῖον. . . . .

Ἀριστόβουλος δὲ τῶν ἐν Ταξίλοις σοφιστῶν ἰδεῖν δύο φησί, Βραχμᾶνας ἀμφοτέρους, τὸν μὲν πρεσβύτερον ἐξυρημένον, τὸν δὲ νεώτερον κομήτην, ἀμφοτέροις δ' ἀκολουθεῖν μαθητάς· τὸν μὲν οὖν ἄλλον χρόνον κατ' ἀγορὰν διατρίβειν τιμωμένους ἀντὶ συμβούλων ἐξουσίαν ἔχοντας ὅ,τι βούλονται τῶν ὠνίων φέρεσθαι δωρεάν. ὅτῳ δ' ἂν προσίωσι, καταχεῖν αὐτῶν τοῦ σησαμίνου λίπους ὥστε κατὰ τῶν ὀμμάτων ῥεῖν. τοῦ τε μέλιτος πολλοῦ προκειμένου καὶ τοῦ σησάμου, μάζας ποιουμένους τρέφεσθαι δωρεάν. παρερχομένους δὲ καὶ πρὸς τὴν Ἀλεξάνδρου τράπεζαν παραστάντας δειπνεῖν, καρτερίαν διδάσκειν παραχωροῦντας εἴς τινα τόπον πλησίον· ὅπου τὸν μὲν πρεσβύτερον πεσόντα ὕπτιον ἀνέχεσθαι τῶν ἡλίων καὶ τῶν ὄμβρων· ἤδη γὰρ ὕειν, ἀρχομένου τοῦ ἔαρος· τὸν δὲ ἑστάναι μονοσκελῆ ξύλον ἐπηρμένον ἀμφοτέραις ταῖς χερσὶν ὅσον τρίπηχυ· κάμνοντος δὲ τοῦ σκέλους, ἐπὶ

θάτερον

θάτερον μεταφέρειν τὴν βάσιν, καὶ διατελεῖν οὕτως τὴν ἡμέραν ὅλην· φανῆναι δ' ἐγκρατέστερον μακρῷ τὸν νεώτερον, συνακολουθήσαντα μικρὰ τῷ βασιλεῖ, ταχὺ ἀναστρέψαι πάλιν ἐπ' οἴκου, μετιόντα τε αὐτὸν, κελεῦσαι ἥκειν εἴ του βούλεται τυγχάνειν. τὸν δὲ συναπᾶραι μέχρι τέλους, καὶ μεταμφιάσασθαι, καὶ μεταθέσθαι τὴν δίαιταν, συνόντα τῷ βασιλεῖ· ἐπιτιμώμενον δὲ ὑπό τινων λέγειν, ὡς ἐκπληρώσειε τὰ τετταράκοντα ἔτη τῆς ἀσκήσεως ἃ ὑπέσχετο. Ἀλέξανδρον δὲ τοῖς παισὶν αὐτοῦ δοῦναι δωρεάν. . . . . Ὀνησίκριτος δέ φησιν αὐτὸς πεμφθῆναι διαλεξόμενος τοῖς Σοφισταῖς· ἀκούειν γὰρ τὸν Ἀλέξανδρον ὡς γυμνοὶ διατελοῖεν, καὶ καρτερίας ἐπιμελοῖντο οἱ ἄνθρωποι, ἐν τιμῇ τε ἄγοιντο πλείστῃ, παρ' ἄλλους δὲ μὴ βαδίζοιεν κληθέντες, ἀλλὰ κελεύοιεν αὐτοὺς φοιτᾶν παρ' αὐτοὺς, εἴ τι μεταχεῖν ἐθέλοιεν τῶν πραττομένων ἢ λεγομένων ὑπ' αὐτῶν. τοιούτων δὲ ὄντων, ἐπειδὰν οὔτε αὐτῷ πρέπειν ἐδόκει παρ' ἐκείνους φοιτᾶν, οὔτε ἐκείνους βιάζεσθαι παρὰ τὰ πάτρια ποιεῖν τι ἄκοντας, αὐτὸς ἔφησε πεμφθῆναι· καταλαβεῖν δὲ ἄνδρας πεντεκαίδεκα ἀπὸ σταδίων εἴκοσι τῆς πόλεως, ἄλλον ἐν ἄλλῳ σχήματι ἑστῶτα, ἢ καθήμενον, ἢ κείμενον γυμνὸν, ἀκίνητον ἕως ἑσπέρας, εἶτ' ἀπερχόμενον εἰς τὴν πόλιν· χαλεπώτατον δ' εἶναι τὸ ἥλιον ὑπομεῖναι οὕτω θερμὸν ὥστε τῶν ἄλλων μηδένα ὑπομένειν γυμνοῖς ἐπιβῆναι τοῖς ποσὶ τῆς γῆς ῥαδίως κατὰ μεσημβρίαν. Διαλεχθῆναι δ' ἑνὶ τούτων Καλάνῳ, ὃν καὶ συνακολουθῆσαι τῷ βασιλεῖ μέχρι Περσίδος, καὶ ἀποθανεῖν τῷ πατρίῳ νόμῳ τεθέντα ἐπὶ πυρκαϊάν· τότε δὲ ἐπὶ λίθῳ τυχεῖν κείμενον. Προσιὼν οὖν καὶ προσαγορεύσας, εἰπεῖν ἔφη ὅτι πεμφθείη παρὰ τοῦ βασιλέως ἀκροασόμενος τῆς φιλοσοφίας αὐτῶν, καὶ ἀπαγγελῶν πρὸς αὐτόν· εἰ οὖν μηδεὶς εἴη φθόνος, ἕτοιμος εἴη μεταχεῖν τῆς ἀκροάσεως· ἰδόντα δ' ἐκεῖνον χλαμύδα καὶ καυσίαν φοροῦντα καὶ κρηπῖδα, καταγελάσαντα,

Τὸ παλαιὸν, φάναι, πάντ' ἦν ἀλφίτων καὶ ἀλεύρων πλήρη, καθάπερ καὶ νῦν κόνεως· καὶ κρῆναι δ' ἔρρεον, αἱ μὲν ὕδατος, γάλακτος δ' ἄλλαι, καὶ ὁμοίως αἱ μὲν μέλιτος, αἱ δ' οἴνου, τινὲς δ' ἐλαίου· ὑπὸ πλησμονῆς δ' οἱ ἄνθρωποι καὶ τρυφῆς εἰς ὕβριν ἐξέπεσον· Ζεὺς δὲ, μισήσας τὴν κατάστασιν, ἠφάνισε πάντα, καὶ διὰ πόνου τὸν βίον ἀπέδειξε· σωφροσύνης δὲ καὶ ἄλλης ἀρετῆς παρελθούσης εἰς τὸ μέσον, πάλιν εὐπορία τῶν ἀγαθῶν ὑπῆρξεν· ἐγγὺς δ' ἐστι κόρου νυνὶ καὶ ὕβρεως τὸ πρᾶγμα, κινδυνεύει δὲ ἀφανισμὸς τῶν ὄντων γενέσθαι. Ταῦτα εἰπόντα κελεύειν εἰ βούλοιτο ἀκροάσασθαι καταθέμενον τὴν σκευὴν γυμνὸν ἐπὶ τῶν αὐτῶν λίθων κείμενον μετέχειν τῶν λόγων. Ἀπορουμένου δ' αὐτοῦ, Μάνδανιν, ὅσπερ ἦν πρεσβύτατος καὶ σοφώτατος αὐτῶν, τὸν μὲν ἐπιπλῆξαι ὡς ὑβριστὴν, καὶ ταῦτα ὕβρεως κατηγορήσαντα, αὐτὸν δὲ προσκαλέσασθαι καὶ εἰπεῖν, ὡς τὸν μὲν βασιλέα ἐπαινοίη διότι ἀρχὴν τοσαύτην διοικῶν ἐπιθυμοίη σοφίας· μόνον γὰρ ἴδοι αὐτὸν ἐν ὅπλοις φιλοσοφοῦντα· ὠφελιμώτατον δ' εἴη τῶν ἁπάντων εἰ οἱ τοιοῦτοι φρονοῖεν οἷς πάρεστι δύναμις τοὺς μὲν ἑκουσίους πείθειν σωφρονεῖν, τοὺς δ' ἀκουσίους ἀναγκάζειν. αὐτῷ συγγνώμη εἴη εἰ δι' ἑρμηνέων τριῶν διαλεγόμενος, πλὴν φωνῆς μηδὲν πλέον συνιέντων ἢ οἱ πολλοὶ, μηδὲν ἰσχύσει τῆς ὠφελείας ἀπόδειξιν ποιήσασθαι· ὅμοιον γὰρ ὡς ἂν διὰ βορβόρου καθαρὸν ἀξιοῖ τις ὕδωρ ῥεῖν. Τὰ γοῦν λεχθέντα εἰς τοῦτ' ἔφη συντείνειν, ὡς εἴη λόγος ἄριστος ὃς ἡδονὴν καὶ λύπην ψυχῆς ἀφαιρήσεται· καὶ ὅτι λύπη καὶ πόνος διαφέρει· τὸ μὲν γὰρ πολέμιον, τὸ δὲ φίλον αὐτῆς. τὰ δὲ σώματα ἀσκοῖεν πρὸς πόνον, ἵν' αἱ γνῶμαι ῥωννύοιντο, ἀφ' ὧν καὶ στάσεις παύοιεν, καὶ σύμβουλοι πᾶσιν ἀγαθῶν παρεῖεν, καὶ κοινῇ, καὶ ἰδίᾳ, καὶ δὴ καὶ Ταξέι, ἢ νῦν συμβουλεῦσαι ἐνδέχεσθαι τὸν Ἀλέξανδρον· κρείττω μὲν γὰρ αὐτοῦ δεξάμενον, εὖ πείσεσθαι· χείρω δὲ, εὖ διαθήσειν. Ταῦτ' εἰπόντα

ἐξέρεσθαι

ἐξέρεσθαι εἰ καὶ ἐν τοῖς Ἕλλησι λόγοι τοιοῦτοι λέγοιντο. Εἰπόντας δ' ὅτι καὶ Πυθαγόρας τοιαῦτα λέγει, κελεύει τε ἐμψύχων ἀπέχεσθαι, καὶ Σωκράτης, καὶ Διογένης, οὗ καὶ αὐτὸς ἀκροάσαιτο, ἀποκρίνασθαι, ὅτι τἆλλα μὲν νομίζει φρονίμως αὐτοῖς δοκεῖν, ἓν δ' ἁμαρτάνειν, νόμον πρὸ τῆς φύσεως τιθεμένους· οὐ γὰρ ἂν αἰσχύνεσθαι γυμνοὺς, ὥσπερ αὐτὸν, διάγειν ἀπὸ λιτῶν ζῶντας· καὶ γὰρ οἰκίαν ἀρίστην εἶναι ἥτις ἂν ἐπισκευῆς ἐλαχίστης δέηται. ἔφη δ' αὐτοὺς καὶ τῶν περὶ φύσιν πολλὰ ἐξετάσαι, καὶ προσημασίαν ὄμβρων, αὐχμῶν, νόσων· ἀπιόντας δ' εἰς τὴν πόλιν κατὰ τὰς ἀγορὰς σκεδάννυσθαι· ὅτῳ δ' ἂν κομίζοντι σῦκα ἢ βότρυς περιτύχωσι, λαμβάνειν δωρεὰν παρέχοντος· εἰ δ' ἔλαιον εἴη, καταχεῖσθαι αὐτῶν καὶ ἀλείφεσθαι· ἅπασαν δὲ πλουσίαν οἰκίαν ἀνεῖσθαι αὐτοῖς μέχρι γυναικωνίτιδος· εἰσιόντας δὲ δείπνου κοινωνεῖν καὶ λόγων. Αἴσχιστον δὲ αὐτοῖς νομίζεσθαι νόσον σωματικήν· τὸν δ' ὑπονοήσαντα καθ' αὑτοῦ τοῦτο, ἐξάγειν ἑαυτὸν διὰ πυρὸς νήσαντα πυράν, ὑπαλειψάμενον δὲ, καὶ καθίσαντα ἐπὶ τὴν πυρὰν ὑφάψαι κελεύειν, ἀκίνητον δὲ καίεσθαι. Νέαρχος δὲ περὶ τῶν Σοφιστῶν οὕτω λέγει, τοὺς μὲν Βραχμᾶνας πολιτεύεσθαι καὶ παρακολουθεῖν τοῖς βασιλεῦσι συμβούλους, τοὺς δ' ἄλλους σκοπεῖν τὰ περὶ τὴν φύσιν· τούτων δὲ εἶναι καὶ Κάλανον· συμφιλοσοφεῖν δ' αὐτοῖς καὶ γυναῖκας· τὰς δὲ διαίτας ἁπάντων σκληράς. . . . . Μεγασθένης δ' ἐν μὲν τοῖς φιλοσόφοις οὐκ εἶναι δόγμα φησὶν ἑαυτοὺς ἐξάγειν· τοὺς δὲ ποιοῦντας τοῦτο νεανικοὺς κρίνεσθαι· τοὺς μὲν σκληροὺς τῇ φύσει φερομένους ἐπὶ πληγὴν ἢ κρημνὸν, τοὺς δ' ἀπόνους ἐπὶ βυθὸν, τοὺς δὲ πολυπόνους ἀπαγχομένους, τοὺς δὲ πυρώδεις εἰς πῦρ ὠθουμένους· οἷος ἦν καὶ ὁ Κάλανος ἀκόλαστος ἄνθρωπος, καὶ ταῖς Ἀλεξάνδρου τραπέζαις δεδουλωμένος. τοῦτον μὲν οὖν ψέγεσθαι, τὸν δὲ Μάνδανιν ἐπαινεῖσθαι, ὅς, τῶν τοῦ Ἀλεξάνδρου ἀγγέλων καλούντων πρὸς τὸν

Διὸς

Διὸς υἱὸν, πειθομένῳ τε δῶρα ἔσεσθαι ἐπιχυμένων, ἀπειθοῦντι δὲ κόλασιν, μήτε ἐκεῖνον φαίη Διὸς υἱὸν ὅς γε ἄρχει μηδὲ πολλοστοῦ μέρους τῆς γῆς· μηδὲ αὐτῷ δεῖν τῶν παρ' ἐκείνου δωρεῶν, ὧν οὐδεὶς κόρος· μήτε δὲ ἀπειλῆς εἶναι φόβον, ᾧ ζῶντι μὲν ἀρκοῦσα εἴη τροφὸς ἡ Ἰνδική, ἀποθανόντι δὲ ἀπαλλάξασθαι τῆς σαρκὸς ἀπὸ γήρως τετρυχωμένης, μεταστὰς εἰς βελτίω καὶ καθαρώτερον βίον. ὥστ' ἐπαινέσαι τὸν Ἀλέξανδρον καὶ συγχωρῆσαι.

DE Philosophis quoque divisionem aliam instituit [Megasthenes] duo genera eorum faciens, quorum unum Brachmanes, alterum Germanes, dicatur: præstare autem Brachmanes alteris, quod eorum decreta magis sint consentanea. Hi, quamprimum concepti sunt, viros doctos curatores habent, qui & matri & concepto accedentes, in speciem quidem incantando proli ac matri felicitatem conciliant; sed revera quædam continentiæ præcepta dant. Matres quæ libenter eos audiant eo feliciores prole futuras existimant. Postquam vero nati sunt, alios atque alios curatores sortiuntur: nam quo magis ætas adolescit, tanto elegantiores magistri succedunt. Philosophos istos ante urbem in luco degere, intra mediocrem ambitum quo cingantur: frugaliter vivere, super toris ac pellibus jacere, animalibus ac Venere abstinere, seriis sermonibus intentos, & cum volentibus audire communicantes. Auditori autem non licere nec loqui, nec screare, aut exspuere, alioqui diem illam cœtu excludi, ut incontinentem. Et cum triginta & septem annos sic vixerint, in sua secedere, & laxius licentiusque

tiusque vivere, sindonem induere, aurum in manibus & auribus moderate gestare, & carnibus vesci animalium, quæ hominum opera non adjuvant, ab acribus & condimentis abstinere, quamplurimas ducere uxores multiplicandæ prolis gratia: nam e pluribus plura etiam nasci bona. Cogunt e filiis aliquem, si servos non habeant in ministerium, gravidæ necessaria parare. Brachmanas cum uxoribus non philosophari, ne, si improbæ sint, aliquid quod efferri nefas sit in profanos efferant; si probæ, viros relinquant. Nam qui voluptatem ac dolorem, vitam ac mortem, æque contemnat, subditum esse alteri nolle: hujusmodi autem esse probum & probam. Plurimas eorum de morte disputationes esse. Nam hanc vitam habendam esse quasi recens conceptorum hominum statum, mortem vero partum in veram illam & felicem vitam iis qui recte philosophati sint: propterea eos multa exercitatione se ad mortem præparare. Nihil eorum quæ hominibus accidere dicuntur, bonum vel malum: neque enim futurum ut iisdem e rebus alii molestiam alii gaudium caperent, somni similes opiniones concipientes; utque iidem ex iisdem interdum angerentur, interdum immutati gauderent. Ait quædam ex iis quæ de natura disserunt stultitiam eorum arguere, potentiores enim esse operibus quam sermone, fabulis pleraque confirmantes. De multis vero cum Græcis sentire; ut quod mundus sit ortus, & interiturus, & sphæricus; & quod conditor & administrator ejus Deus universum eum pervadat: universarum rerum primordia diversa esse, mundi autem aquam, & præter quatuor elementa quintam quandam naturam esse, ex qua cœlum astraque constent; terram in medio sitam Universi; de semine, de anima, aliisque

complu-

compluribus similia eos dicere; texere etiam fabulas quasdam, quemadmodum Plato, de immortalitate Animæ, & de judiciis quæ apud Inferos fiunt, & alia hujusmodi non pauca. Ac de Brachmanis quidem hactenus. *Germanum* eos honoratissimos ait, qui Hylobii appellantur, ex eo quod in silvis degunt, e frondibus & silvestribus fructibus viventes, vestem ex arborum corticibus habentes, vini & Veneris expertes. Hos cum Regibus de causis rerum interrogantibus per nuncios colloqui, & per illos Deum a Regibus coli & placari. . . . . Aristobulus in Taxilis vidisse se dicit Sophistas duos, utrosque Brachmanes; alterum seniorem tonsum, alterum juniorem comatum, utrumque discipulis comitatum fuisse; solitos reliquo tempore in foro versari, & ut consiliariis honorem hunc habitum ut quicquid ex rebus venalibus vellent, id gratis auferre liceret: & ad quemcunque accesserint sesamino oleo eos perfundere, ut usque ad oculos fluat; & multo melle ac sesamo præsente panem conficientes gratis enutritos. Cumque etiam ad Alexandri mensam accederent, assistentes cœnasse, & tolerantiam docuisse: nam in locum quendam proximum cum secessissent, seniorem supinum & Solem & imbres pertulisse; jam enim pluebat Vere incipiente: juniorem vero in altero pede stantem lignum tricubitale ambabus manibus sublatum sustentasse, eo pede autem jam defesso, alteri innixum, atque ita totum diem perseverasse. Ex his longe continentiorem visum fuisse juniorem, qui cum aliquamdiu Regem secutus fuisset, domum reversus est; quo eum accersente, jussit si quid vellet ad se venire: alterum usque ad extremum secutum, & vestem induisse, & victum apud Regem immutasse; & cum a quibusdam in-

 creparetur,

creparetur, respondisse, quadraginta exercitationis annos se complesse quos promisisset. Alexandrum filiis ejus dona plurima dedisse. . . . . . Onesicritus missum se scribit ut cum Sophistis colloqueretur: etenim Alexandrum audivisse nudos eos incedere, & tolerantiam exercentes in honore maximo haberi, ad alios autem si vocarentur non ire, sed jubere ut ad se venirent si quid assequi vellent quod ab eis ageretur & diceretur. Proinde cum essent tales, & neque sibi decorum putaret Alexander ad illos accedere, nec vellet invitos cogere ut quicquam facerent præter patria instituta, se missum inquit. Invenisse autem se quindecim homines viginti stadiis ab urbe, alium in alio gestu, vel stantem, vel sedentem, vel jacentem nudum, & usque ad vesperam immotum, postea in urbem discedentem. Omnium vero difficillimum esse Solem perpeti adeo calidum ut nemo alius nudis pedibus in meridie terram calcare sustineret. Collocutum se cum uno eorum, nomine Calano, qui postea usque in Persiam Alexandrum secutus, secundum patriam legem mortuus est, in rogum impositus: tunc autem forte lapidibus incubabat; itaque accessisse, & eum appellasse ac dixisse, missum se ab Alexandro eorum sapientiam auditum, & Regi renunciatum; quare se paratum audire nisi quid obstaret. At Calanum, cum chlamydem & causiam ac crepidas indutum conspexisset, risu sublato ita fatum; Olim omnia plena erant triticeæ & hordeaceæ farinæ, ut nunc pulveris; fontes alii lacte, alii aqua fluebant, nonnulli melle, alii vino, quidam oleo: homines autem ob satietatem ac luxuriam ad contumeliam se transdiderunt. Jupiter itaque præsentem statum exosus omnia abolevit, & vitam per laborem instituit.

Tunc

Tunc temperantia & virtutibus cæteris in medium prodeuntibus, rursum bonorum copia facta est. Nunc jam res pene ad saturitatem contumeliamque rediit, ac periculum est ne rerum omnium interitus impendeat. Quæ cum dixisset, jussisse, si quid vellet audire, ut eo habitu deposito super iisdem lapidibus nudus jaceret. Se autem animi dubio, Mandanim, qui cæteros anteibat ætate pariter atque sapientia, Calanum objurgasse, qui contumeliam culpans ipse contumeliose ageret: sibi ad eum vocato dixisse illum; Summopere quidem Alexandrum laudo quod in tanta administrandi imperii mole sapientiam expetit, quem solum ego in armis philosophantem vidi. Longe utilissimum fuerit si ii sapiant quibus potestas est volentibus continentiam persuadendi, invitos autem ad eam cogendi. Mihi autem, aiebat, venia debetur si per tres Interpretes colloquens, qui præter vocem plebeio quovis nihil amplius intelligunt, non possum nostræ sapientiæ vim ei demonstrare: nam perinde res habet ac si quis postularet limpidam aquam per cœnum delabi. Omnia itaque dicta Mandanis eo pertinuisse; Eam esse optimam doctrinam quæ voluptatem molestiamque animo eximeret; molestiam a labore differre, quod illa ei esset inimica, alter vero amicissimus. Ipsos corpora ad laborem exercere ut mentes confirmentur, quibus motus sedentur, & bona omnibus consulendi publice privatimque facultas adesset: quomodo etiam nunc Alexandrum instituturi essent ut & meliori recte obtemperare, & deteriorem reddere meliorem possit. Posthæc interrogasse num talia etiam apud Græcos dicerentur. Cumque respondisset ipse, eadem Pythagoram docere, ac jubere ab animalibus abstinere, tum Socratem, & Diogenem, quem ipse

 au-

audisset, intulisse Mandanim; Sane prudenter eos de cæteris rebus sentire existimo, in uno autem errare, quod legem anteponunt naturæ; alias enim non puderet eos nostro more nudos degere, & tenui victu esse contentos; cum ea optima domus sit quæ minimo apparatu indigeat. Addidit, multa eos de natura, de prædictione imbrium, siccitatum, & morborum inquirere. Abeuntes vero in urbem per fora dispergi, & quemcunque offenderint ficus vel uvas ferentem, ab eo gratis capere; si oleum fuerit, eo perfundi & inungi: omnem domum divitum iis patere usque in mulierum conclavia; ingressos autem in cœnæ & sermonum communicationem adhiberi. Turpe apud eos putari corporis morbum: quem si quis veretur, seipsum igni e vita educit: nam constructo rogo super eum perunctus sedet, & accendi jubens immotus comburitur. Nearchus de Sophistis ita loquitur; Brachmanas in civitatibus versari, & Reges sequi, & eorum consiliarios esse, cæteros vero quæ ad naturam pertinent contemplari; & ex his Calanum fuisse . . . Megasthenes nullum Philosophis decretum esse de morte sibi consciscenda affirmat; sed temerarios haberi qui hoc in se admittant: ac natura quidem duros, in vulnus vel præcipitium ferri; doloris impatientes, in profundum maris; doloris patientissimos, strangulari; igneos, in ignem detrudi: ac talem Calanum fuisse, incontinentem sane hominem, & mensæ Alexandri mancipium. Ea propter hunc vituperari, Mandanim summopere laudari. Is, cum Alexandri nuncii eum ad Jovis filium vocarent, & parenti dona pollicerentur, dicto non audienti minarentur cruciatum, respondit, Neque illum Jovis filium esse qui ne minimæ quidem terrarum

parti

parti imperaret : nec se illius dona requirere, quorum nulla est satietas ; nec minis terreri, cum vivens satis ab India nutriatur, mortuus vero ab attrita jam senio carne liberetur, in meliorem purioremque vitam transmigrans. Itaque ab Alexandro laudatum dicit, & missum factum.

CICERO *Tusc. Quæst.* lib. 5.

QUÆ Barbaria India vastior aut agrestior ? in ea tamen gente primum hi qui Sapientes habentur, nudi ætatem agunt, & Caucasi nives hyemalemque vim perferunt sine dolore. Quumque ad flammam se applicaverint, sine gemitu aduruntur.

PLINIUS *Nat. Hist.* lib. 7. cap. 2.

PHilosophos eorum, quos Gymnosophistas vocant, ab Exortu ad Occasum perstare contuentes Solem immobilibus oculis ; serventibus arenis toto die alternis pedibus insistere.

PLUTARCHUS

ΤΩΝ δὲ Γυμνοσοφιστῶν τοὺς μάλιστα τὸν Σάββαν ἀναπείσαντας ἀποστῆναι, καὶ κακὰ πλεῖστα τοῖς Μακεδόσι παρασχόντας, λαβὼν δέκα δεινοὺς δοκοῦντας εἶναι περὶ τὰς ἀποκρίσεις, καὶ βραχυλόγους, ἐρωτήματα προὔγραφεν αὐτοῖς ἄπορα, φήσας ἀποκτενεῖν τὸν μὴ ὀρθῶς ἀποκρινόμενον πρῶτον, εἶτα ἐφεξῆς οὕτω τοὺς ἄλλους. ἕνα δὲ τὸν πρεσβύτατον ἐκέλευσε κρίνειν. ὁ μὲν οὖν πρῶτος ἐρωτηθεὶς πότερον οἴεται τοὺς ζῶντας εἶναι πλείονας, ἢ τοὺς τεθνηκότας· ἔφη τοὺς ζῶντας, οὐκέτι γὰρ εἶναι τοὺς τεθνηκότας. ὁ δὲ δεύτερος, πότερον τὴν γῆν ἢ τὴν θάλατταν μείζονα τρέφειν θηρία. Τὴν γῆν, ταύτης γὰρ ἔφη μέρος εἶναι τὴν θάλατταν. ὁ δὲ τρίτος, ποῖόν ἐστι ζῶον πανουργότατον, Ὃ μέχρι τοῦ νῦν, εἶπεν, ἄνθρωπος οὐκ ἔγνωκεν. ὁ δὲ τέταρτος ἀνακρινόμενος τίνι λογισμῷ τὸν Σάββαν ἀπέστησεν, ἀπεκρίνατο, Καλῶς ζῆν βουλόμενον αὐτὸν, ἢ κακῶς ἀποθανεῖν. ὁ δὲ πέμπτος ἐρωτηθεὶς πότερον οἴεται τὴν ἡμέραν ἢ τὴν νύκτα προτέραν γεγονέναι, Τὴν ἡμέραν, εἶπεν, ἡμέρᾳ μιᾷ. καὶ προσεῖπεν, οὕτως θαυμάσαντος τοῦ βασιλέως, ὅτι τῶν ἀπόρων ἐρωτήσεων ἀνάγκη καὶ τὰς ἀποκρίσεις ἀπόρους εἶναι. μεταλαβὼν οὖν τὸν ἕκτον ἠρώτα πῶς ἄν τις φιληθείη μάλιστα, Ἂν κράτιστος ὤν, ἔφη, μὴ φοβερὸς ᾖ. τῶν δὲ λοιπῶν ὁ μὲν ἐρωτηθεὶς πῶς ἄν τις ἐξ ἀνθρώπων γένοιτο θεὸς, Εἴ τι πράξειεν, εἶπεν, ὃ πρᾶξαι δυνατὸν ἀνθρώπῳ μὴ ἐστίν. ὁ δὲ περὶ ζωῆς καὶ θανάτου, πότερον ἰσχυρότερον, ἀπεκρίνατο, τὴν ζωὴν, τοσαῦτα κακὰ φέρουσαν. ὁ δὲ τελευταῖος, μέχρι τίνος ἄνθρωπον καλῶς ἔχον ζῆν, μέχρι οὗ μὴ νομίζει τὸ τεθνάναι τοῦ ζῆν ἄμεινον. Οὕτω δὴ τραπόμενος πρὸς τὸν δικαστὴν, ἐκέλευσεν ἀποφαίνεσθαι· τοῦ δὲ ἕτερον

ἑτέρου

ἑτέρου χεῖρον εἰρηκέναι φήσαντος, Οὐκοῦν, ἔφη, καὶ σὺ πρῶτος ἀποθανῇ τοιαῦτα κρίνων. Οὐκ ἄν γε, εἶπεν, ὦ βασιλεῦ, εἰ μὴ σὺ ψεύδῃ, φήσας πρῶτον ἀποκτενεῖν τὸν ἀποκρινόμενον κάκιστα. τούτους μὲν οὖν ἀφῆκε δωρησάμενος. πρὸς δὲ τοὺς ἐν δόξῃ μάλιστα, καὶ καθ' ἑαυτοὺς ἐν ἡσυχίᾳ ζῶντας ἔπεμψεν Ὀνησίκριτον, ἀφικέσθαι δεόμενος πρὸς αὐτόν. Ὁ δὲ Ὀνησίκριτος ἦν φιλόσοφος τῶν Διογένει τῷ κυνικῷ συνεσχολακότων· καί φησι τὸν μὲν Κάλανον ὑβριστικῶς πάνυ καὶ τραχέως κελεύειν ἀποδύντα τὸν χιτῶνα, γυμνὸν ἀκροᾶσθαι τῶν λόγων, ἄλλως δὲ οὐ διαλέξεσθαι πρὸς αὐτὸν, οὐδ' εἰ παρὰ τοῦ Διὸς ἀφῖκται· τὸν δὲ Δάνδαμιν πρᾳότερον, καὶ διακούσαντα περὶ Σωκράτους, καὶ Πυθαγόρου, καὶ Διογένους, εἰπεῖν ὡς εὐφυεῖς μὲν αὐτῷ γεγονέναι δοκοῦσιν οἱ ἄνδρες, λίαν δὲ τοὺς νόμους αἰσχυνόμενοι βεβιωκέναι· ἄλλοι δέ φασι τὸν Δάνδαμιν οὐδὲν εἰπεῖν ἀλλ' ἢ τοσοῦτον μόνον, Τίνος χάριν ὁ Ἀλέξανδρος ὁδὸν τοσαύτην δεῦρ' ἦλθε; Τὸν μὲν Κάλανον ἔπεισεν ὁ Ταξίλης ἐλθεῖν πρὸς Ἀλέξανδρον· ἐκαλεῖτο δὲ Σφίνης· ἐπεὶ δὲ κατ' Ἰνδικὴν γλῶτταν τῷ Καλὲ προσαγορεύων ἀντὶ τοῦ χαίρειν τοὺς ἐντυγχάνοντας ἠσπάζετο, Κάλανος ὑπὸ τῶν Ἑλλήνων ὠνομάσθη. Τοῦτον δὲ λέγεται καὶ τὸ παράδειγμα τῆς ἀρχῆς τῷ Ἀλεξάνδρῳ προθέσθαι· καταβαλὼν γὰρ ἐν μέσῳ βύρσαν τινὰ ξηρὰν καὶ κατεσκληκυῖαν, ἐπάτησε τὸ ἄκρον· ἡ δὲ εἰς ἓν πιεσθεῖσα τοῖς ἄλλοις ἐπῄρθη μέρεσιν· καὶ τοῦτο περιιὼν ἐν κύκλῳ καὶ πιέζων, καθ' ἕκαστον ἐδείκνυε γιγνόμενον, ἄχρι οὗ τὸ μέσον ἐπιστὰς κατέσχεν, καὶ πάντα οὕτως ἠρέμησεν. ἐβούλετο δὲ ἡ εἰκὼν ἔνδειξις εἶναι τοῦ τὰ μέσα δεῖν μάλιστα τῆς ἀρχῆς πιέζειν, καὶ μὴ μακρὰν ἀποπλανᾶσθαι τὸν Ἀλέξανδρον.

Ex

EX Gymnoſophiſtis, qui præcipue Sabbam ad defectionem impulerant, & plurimum fatigaverant Macedonas, decem acres ad reſpondendum, & contractos habitos, cepit. His quæſtiones obſcuras propoſuit, necem denuncians primo qui parum recte reſpondiſſet, inde ordine reliquis: unum natu maximum dedit Judicem. Primus interrogatus, Vivoſne plures eſſe an mortuos cenſeret; Vivos ait: neque enim jam eſſe eos qui mortui ſunt. Secundus, Terram an pelagus grandiores gignere belluas; Terram: quippe hujus, inquit, pelagus portio eſt. Tertius, Quod animal callidiſſimum eſſet; Quod hactenus, inquit, homo non cognovit. Quartus requiſitus, Quamobrem Sabbam ad rebellionem concitaſſet, reſponſum dedit; Quo honeſte viveret, aut honeſte periret. Quintus rogatus, Diem an noctem putaret fuiſſe priorem; Diem, ait, uno die. Adjecit autem (cum id Rex admiraretur) Implicatarum interrogationum neceſſe eſse ut eſsent implicatæ reſponſiones. Ita progrediens ſextum percunctatus eſt, Quemadmodum quis maxime ſe efficiat charum; Si potentiſſimus, inquit ille, nec formidabilis eſset. Ex reliquis alius rogatus, Quemadmodum ex mortali quis Deus evadat; Si quid fecerit, inquit, quod facere denegatum ſit homini. Alius, de vita & morte, utra valentior, reſpondit; Vitam, tam multa tolerantem mala. Poſtremus, Quatenus hominem vivere deceat; Eatenus dum mori quam vivere non cenſeat præſtare. Ita tandem verſus ad Judicem pronunciare eum juſſit ſententiam, qui cum alium alio dixiſset non pejus reſpondiſse; Ergo tu, inquit, primus moriere qui ita decernis. Minime vero, Rex, inquit ille, niſi

tu

tu mentiaris, qui primum dixisti interfecturum te illum qui pessime respondisset: Hos igitur muneribus honoratos dimisit. Ad eos qui erant clarissimi, solitariam autem quietamque vitam agebant, Onesicritum misit petitum ad se ut venirent. Fuit Onesicritus philosophus ex Diogenis Cynici contubernio. Ait Calanum sane quam superbe & aspere jussisse ei ut posita veste eum audiret nud⁹, alioqui non congressurum cum eo ne si a Jove missus esset quidem. Dandamim egisse placidius, ac de Socrate, Pythagora, & Diogene cum audivisset dixisse, magno ingenio sibi eos viros videri fuisse, sed nimium reverentes legum. Alii Dandamim nihil memorant nisi solum hoc quæsisse; Qua de causa Alexander eo venisset tam immenso itinere. Calanum quidem, ut ad Alexandrum proficisceretur, Taxiles induxit: Sphines vocabatur, sed quod sermone Indico *Cale* pro *Salve* salutans obvios compellaret, Calanus est a Græcis nominatus. Hunc referunt exemplum imperii sui Alexandro ob oculos posuisse. Corium in medium conjecit siccum & retorridum, cujus oram calcavit. Id uno loco pressum cæteris partibus extulit se. Idem circulans undique & pedibus stringens in quaque parte ostendit evenire, quoad medium pedibus occupavit, tunc omnes partes quievere. Ea imagine significavit media regni maxime premenda, neque procul ab iis vagandum Alexandro esse.

d ARRI-

KAI ἔτι τῶνδε ἐπαινῶ τοὺς Σοφιστὰς τῶν Ἰνδῶν, ὧν λέγουσιν ἔστιν οὓς καταληφθέντας ὑπ' Ἀλεξάνδρου ὑπαιθρίους ἐν λειμῶνι, ἵναπερ αὐτοῖς διατριβαὶ ἦσαν, ἄλλο μὲν οὐδὲν ποιῆσαι πρὸς τὴν ὄψιν αὐτοῦ τε καὶ τῆς στρατιᾶς, κρούειν δὲ τοῖς ποσὶ τὴν γῆν ἐφ' ἧς βεβηκότες ἦσαν. Ὡς δὲ ἤρετο Ἀλέξανδρος δι' ἑρμηνέων ὅτι νόος αὐτοῖς τὸ ἔργον, τοὺς δὲ ἀποκρίνασθαι ὧδε, Ὦ βασιλεῦ Ἀλέξανδρε, ἄνθρωπος μὲν ἕκαστος τοσόνδε τῆς γῆς κατέχει ὅσονπερ τοῦτό ἐστιν ἐφ' ὅτῳ βεβήκαμεν· σὺ δὲ ἄνθρωπος ὢν, παραπλήσιος τοῖς ἄλλοις, πλήν γε δὴ ὅτι πολυπράγμων καὶ ἀτάσθαλος, ἀπὸ τῆς οἰκείας τοσαύτην γῆν ἐπεξέρχῃ, πράγματα ἔχων τε καὶ παρέχων ἄλλοις· καὶ οὖν καὶ ὀλίγον ὕστερον ἀποθανὼν τοσοῦτον καθέξεις τῆς γῆς ὅσον ἐξαρκεῖ ἐντεθάφθαι τῷ σώματι. κἀνταῦθα ἐπῄνεσε μὲν Ἀλέξανδρος τούς τε λόγους καὶ τοὺς εἰπόντας, ἔπρασσε δὲ ὅμως ἄλλα καὶ τἀναντία οἷς ἐπῄνεσεν. . . . . Ἐς Τάξιλα αὐτῷ [Ἀλεξάνδρῳ] ἀφικομένῳ, καὶ ἰδόντι τῶν Σοφιστῶν Ἰνδῶν τοὺς γυμνοὺς, πόθος ἐγένετο ξυνεῖναί τινά οἱ τῶν ἀνδρῶν τούτων, ὅτι τὴν καρτερίαν αὐτῶν ἐθαύμασε. καὶ ὁ μὲν πρεσβύτατος τῶν Σοφιστῶν, ὅτου ὁμιληταὶ οἱ ἄλλοι ἦσαν, Δάνδαμις ὄνομα, οὔτε αὐτὸς ἔφη παρ' Ἀλέξανδρον ἥξειν, οὔτε τοὺς ἄλλους εἴα· ἀλλ' ἀποκρίνασθαι γὰρ λέγεται, ὡς Διὸς υἱὸς καὶ αὐτὸς εἴη, εἴπερ οὖν καὶ Ἀλέξανδρος. καὶ ὅτι οὔτε δέοιτό του τῶν παρ' Ἀλεξάνδρου (ἔχειν γάρ οἱ εὖ τὰ παρόντα) καὶ ἅμα ὁρᾶν τοὺς ξὺν αὐτῷ πλανωμένους τοσαύτην γῆν καὶ θάλασσαν ἐπ' ἀγαθῷ οὐδενὶ, μήτε πέρας τι αὐτοῖς γινόμενον τῶν πολλῶν πλανῶν· οὔτ' οὖν ποθεῖν τι αὐτὸς ὅτου κύριος ἦν Ἀλέξανδρος δοῦναι, οὔτ' αὖ δεδιέναι ὅτου κρατοίη ἐκεῖνος ἐς τὸ εἴργεσθαι.

σθαι. ζῶντι μὲν γάρ οἱ τὴν Ἰνδῶν γῆν ἐξαρκεῖν φέρουσαν τὰ ὡραῖα, ἀποθανόντα δὲ ἀπαλλαγήσεσθαι οὐκ ἐπιεικοῦς ξυνοίκου τοῦ σώματος. Οὔκουν οὐδὲ Ἀλέξανδρον ἐπιχειρῆσαι βιάσασθαι, γνόντα ἐλεύθερον ὄντα τὸν ἄνδρα. ἀλλὰ Κάλανον γὰρ ἀναπεισθῆναι τῶν ταύτῃ σοφιστῶν, ὅντινα μάλιστα δὴ αὐτοῦ ἀκράτορα Μεγασθένης ἀνέγραψεν· αὐτοὺς δὲ τοὺς σοφιστὰς λέγειν κακίζοντας τὸν Κάλανον, ὅτι ἀπολιπὼν τὴν παρὰ σφίσιν εὐδαιμονίαν, ὁ δὲ δεσπότην ἄλλον ἢ τὸν θεὸν ἐθεράπευσε.

HOc quidem nomine Indorum Sophiſtas laudo, quorum nonnullos cum aliquando in horto, in quem commentandi cauſa convenire ſolent, ſub dio ambulantes offendiſſet Alexander, eos ad ipſius & exercitus conſpectum nihil aliud feciſſe dicunt, quam pedibus terram quam calcabant pulſaſſe. Alexandro autem cauſam ejus facti per interpretes interrogante, ita reſponderunt; Quoniam, O Rex Alexander, unuſquiſque mortalium tantum terræ poſſidet, quantum hoc eſt quod calcamus: tu vero homo reliquis ſimilis es, præterquam quod curioſus atque iniquus tam procul a domo tua diſceſſeris, tibi pariter atque aliis negotium faceſſens: cum alioqui exiguo abhinc tempore moriturus, non plus terræ ſis poſſeſſurus quam corpori tuo ſepeliendo ſufficiat. Atque Alexander quidem Sophiſtarum ſententiam laudavit, non deſtitit tamen alia, & quidem iis quæ laudarat contraria, perſequi.... Cum ad Taxila urbem veniſſet [Alexander] Indorum Sophiſtas nudos conſpicatus, aliquem eorum ſibi adjungi optabat,

incredibilem in eis laborum tolerantiam admiratus. At qui inter illos Sophistas erat natu maximus, Dandamis nomine, respondit; Neque se ad Alexandrum venturum, neque aliis ut irent permissurum: se enim etiam Jovis filium esse perinde atque Alexander: neque ulla re ab Alexandro egere; iis enim quæ haberet contentum esse. Addidit præterea videre se, iis qui una cum eo tantum terrarum ac maris pervagati essent, nihil boni propositum esse, neque ullum erroribus eorum finem statui. Nihil itaque se expetere eorum quæ Alexander largiri posset, sed nec timere quidem ne iis quæ ipse possideret prohiberetur: quamdiu enim viveret, Indorum regionem tempestivos statis anni partibus fructus ferentem ipsi sufficere; cum vero mori contingeret, se a corpore ut socio non satis æquo discessurum. Quæ cum audisset Alexander, noluit invitum cogere, quod liberum hominem esse intelligeret; Calano tamen persuasisse, uni ex Sophistarum numero, quem quidem incontinentem fuisse Megasthenes scripsit; reliquosque Sophistas judicasse id perperam a Calano factum fuisse, quod relicta felicitate quam sese consecutos censebant, alium dominum quam Deum coleret.

Idem

Idem in Indicis.

Νενέμηνται οἱ πάντες Ἰνδοὶ εἰς ἑπτὰ μάλιστα γενεάς· ἐν μὲν αὐτοῖσιν οἱ Σοφισταί εἰσι, πλήθει μὲν μείους τῶν ἄλλων, δόξῃ δὲ καὶ τιμῇ γεραρώτατοι· οὔτε γάρ τι τῷ σώματι ἐργάζεσθαι ἀναγκαίη σφιν προσκέαται, οὔτε τι ἀποφέρειν ἀφ' ὅτου πονέουσιν ἐς τὸ κοινόν· οὔτε τι ἄλλο ἀνάγκης ἁπλῶς ἐπεῖναι τοῖσι Σοφιστῇσιν ὅτι μὴ θύειν τὰς θυσίας τοῖσι θεοῖσιν ὑπὲρ τοῦ κοινοῦ τῶν Ἰνδῶν. καὶ ὅστις δὲ ἰδίᾳ θύει, ἐξηγητὴς αὐτῷ τῆς θυσίας τῶν τις Σοφιστῶν τούτων γίνεται, ὡς οὐκ ἂν ἄλλως κεχαρισμένα τοῖς θεοῖς θύσαντας. εἰσὶ δὲ καὶ μαντικῆς οὗτοι μοῦνοι Ἰνδῶν δαήμονες, οὐδὲ ἐφεῖται ἄλλῳ μαντεύεσθαι ὅτι μὴ σοφῷ ἀνδρί· μαντεύουσι δὲ ὅσα ὑπὲρ τῶν ὡραίων τοῦ ἔτεος, καὶ εἴ τις ἐς τὸ κοινὸν συμφορὴ καταλαμβάνει. τὰ ἴδια δὲ ἑκάστοισιν οὔ σφιν μέλει μαντεύεσθαι, ἢ ὡς οὐκ ἐξικνεομένης τῆς μαντικῆς ἐς τὰ μικρότερα, ἢ ὡς οὐκ ἄξιον ἐπὶ τούτοισι πονέεσθαι. ὅστις δὲ ἁμάρτοι ἐς τρεῖς μαντευσάμενος, τούτῳ δὲ ἄλλο μὲν κακὸν γίγνεσθαι οὐδέν, σιωπᾶν δὲ εἶναι ἐπάναγκες τοῦ λοιποῦ. καὶ οὐκ ἔστιν ὅστις ἐξαναγκάσει τὸν ἄνδρα τοῦτον φωνῆσαι ὅτου ἡ σιωπὴ κατακέκριται. οὗτοι γυμνοὶ διαιτῶνται οἱ Σοφισταί, τοῦ μὲν χειμῶνος ὑπαίθριοι ἐν τῷ ἡλίῳ· τοῦ δὲ θέρεος, ἐπὴν ὁ ἥλιος κατέχῃ, ἐν τοῖσι λειμῶσι καὶ τοῖσιν ἕλεσιν ὑπὸ δένδρεσι μεγάλοισιν.

DIſtinguuntur Indi omnes in ſex potiſſimum genera hominum; quorum alii Sophiſtæ appellantur, numero quidem reliquis inferiores, ſed honore & gloria præſtantiſſimi:

neque

neque enim ad ulla opera quæ corpore præstantur adiguntur, neque quicquam conferre ad publicum usum laborant, neque (ut summatim dicam) ullius plane operis necessitas Sophistis imposita est, quam ut Diis pro communi salute sacrificia faciant. Et si quis privatim sacrificat, aliquis ex Sophistis interpres sacrificiorum ei adjungitur: neque enim aliter accepta Diis sacrificia sunt. Sunt vero etiam hi soli inter Indos divinandi periti, neque cuiquam divinatio permittitur nisi sapienti viro. Vaticinantur autem de temporibus anni, aut si qua publica calamitas immineat. De rebus privatis non vaticinantur; sive quod divinandi rationem ad res minores pertinere non putent, sive quod indignum credant circa minutiora hæc laborare. Quicunque vero ter divinando a vero aberravit, huic nihil aliud pœnæ loco infligitur quam quod ei deinceps silentium indicitur: neque cuiquam licet eum cui silentium imperatum fuerit ad loquendum cogere. Hi Sophistæ nudi degunt: hieme sub dio apricantur; æstate, cum Sol fervet, in pratis & palustribus locis sub ingentibus arboribus.

APULEIUS *in Floridis.*

EST præterea genus apud illos [Indos] præstabile, Gymnosophistæ vocantur. Hos ego maxime admiror; quod homines sunt periti, non propagandæ vitis, nec inoculandæ arboris, nec proscindendi soli. Non illi norunt arvum colere, vel aurum colare, vel equum domare, vel taurum subigere, vel ovem vel capram tondere vel pascere. Quid igitur est? Unum pro his omnibus norunt. Sapientiam percolunt

tam

tam Magiſtri ſenes quam Diſcipuli minores. Nec quidquam penes illos æque laudo, quam quod torporem animi & otium oderunt. Igitur ubi menſa poſita, priuſquam edulia apponantur, omnes adoleſcentes ex diverſis locis & officiis ad dapem conveniunt; Magiſtri perrogant quod factum a lucis ortu ad illud diei bonum fecerit. Hic alius ſe commemorat inter duos arbitrum delectum, ſanata ſimultate, reconciliata gratia, purgata ſuſpicione, amicos ex infenſis reddidiſſe; inde alius, ſeſe parentibus quidpiam imperantibus obediſſe; & alius, aliquid meditatione ſua reperiſſe, vel alterius demonſtratione didiciſſe. Denique cæteri commemorant. Qui nihil habet adferre cur prandeat, impranſus ad opus foras extruditur.

CLEMENS *Alexandrinus Stromat.* lib. 3.

Βραχμᾶναι γοῦν οὔτε ἔμψυχον ἐσθίουσιν, οὔτε οἶνον πίνουσιν· ἀλλ' οἱ μὲν αὐτῶν καθ' ἑκάστην ἡμέραν, ὡς ἡμεῖς, τὴν τροφὴν προσίενται, ἔνιοι δ' αὐτῶν διὰ τριῶν ἡμερῶν, ὥς φησιν Ἀλέξανδρος ὁ Πολυΐστωρ ἐν τοῖς Ἰνδικοῖς. καταφρονοῦσι δὲ θανάτου, καὶ παρ' οὐδὲν ἡγοῦνται τὸ ζῆν· πείθονται γὰρ εἶναι παλιγγενεσίαν. οἱ δὲ σέβουσιν Ἡρακλέα καὶ Πᾶνα. οἱ καλούμενοι δὲ Σεμνοὶ τῶν Ἰνδῶν γυμνοὶ διαιτῶνται τὸν πάντα βίον. οὗτοι τὴν ἀλήθειαν ἀσκοῦσι, καὶ περὶ τῶν μελλόντων προμηνύουσι, καὶ σέβουσί τινα πυραμίδα, ὑφ' ἣν ὀστέα τινὸς θεοῦ νομίζουσιν ἀποκεῖσθαι. οὔτε δὲ οἱ Γυμνοσοφισταὶ, οὔθ' οἱ λεγόμενοι Σεμνοὶ γυναιξὶ χρῶνται· παρὰ φύσιν γὰρ τοῦτο καὶ παράνομον δοκοῦσι· δι' ἣν αἰτίαν σφᾶς αὐτοὺς ἁγνοὺς τηροῦσι.

τηροῦσι· παρθενεύουσι δὲ καὶ αἱ Σεμναί· δοκοῦσι δὲ παρατηρεῖν τὰ οὐράνια, καὶ διὰ τῆς τούτων σημειώσεως τῶν μελλόντων προμαντεύεσθαί τινα.

BRachmanes certe neque animatum comedunt, neque vinum bibunt: sed aliqui quidem ex iis quotidie, sicut nos, cibum capiunt, nonnulli autem ex iis tertio quoque die, ut ait Alexander Polyhistor in lib. de rebus Indicis. Mortem autem contemnunt, & vivere nihili faciunt; credunt enim esse regenerationem: aliqui autem colunt Herculem & Panem. Qui autem ex Indis vocantur Σεμνοὶ, h. e. *honesti* ac *venerandi*, nudi totam vitam transigunt. Ii veritatem exercent, & futura prædicunt, & colunt quandam pyramidem, sub qua existimant alicujus Dei ossa reposita. Neque vero Gymnosophistæ, nec qui dicuntur Σεμνοὶ, h. e. *venerandi*, utuntur mulieribus: hoc enim præter naturam & iniquum esse existimant: qua de causa seipsos castos conservant. Virgines autem sunt etiam mulieres quæ dicuntur Σεμναί. Videntur autem observare cœlestia, & per eorum significationem quædam futura prædicere.

PORPHYRIUS

Ἰνδῶν πολιτείας εἰς πολλὰ νενεμημένης, ἔστι τι γένος παρ' αὐτοῖς τὸ τῶν θεοσόφων, οὓς Γυμνοσοφιστὰς καλεῖν εἰώθασιν Ἕλληνες· τούτων δὲ δύο αἱρέσεις, ὧν τῆς μὲν Βραχμᾶνες προΐστανται, τῆς δὲ Σαμαναῖοι. ἀλλ' οἱ μὲν Βραχμᾶνες ἐκ γένους διαδέχονται, ὥσπερ ἱερατείαν, τὴν τοιαύτην θεοσοφίαν· Σαμαναῖοι δὲ λογάδες εἰσὶν κἀκ τῶν βουληθέντων θεοσοφεῖν συμπληρούμενοι. ἔχει δὲ τὰ κατ' αὐτοὺς τοῦτον τὸν τρόπον, ὡς Βαρδησάνης, ἀνὴρ Βαβυλώνιος, ἐπὶ τῶν πατέρων ἡμῶν γεγονὼς, καὶ ἐντυχὼν τοῖς περὶ Δαμάδαμιν πεπεμμένοις πρὸς τὸν Καίσαρα, ἀνέγραψεν· πάντες γὰρ Βραχμᾶνες ἑνός εἰσι γένους· ἐξ ἑνὸς γὰρ πατρὸς καὶ μιᾶς μητρὸς πάντες διάγουσι. Σαμαναῖοι δὲ οὐκ εἰσὶ τοῦ γένους αὐτῶν, ἀλλ' ἐκ παντὸς τοῦ Ἰνδῶν ἔθνους, ὡς ἔφαμεν, συνειλεγμένοι· οὔτε δὲ βασιλεύεται Βραχμὰν, οὔτε συντελεῖ τι τοῖς ἄλλοις· τούτων δὲ οἱ φιλόσοφοι, οἱ μὲν ἐν ὄρει οἰκοῦσιν, οἱ δὲ περὶ Γάγγην ποταμόν. σιτοῦνται δὲ οἱ μὲν ὄρειοι τήν τε ὀπώραν καὶ γάλα βόειον βοτάναις παγὲν, οἱ δὲ περὶ τὸν Γάγγην ἐκ τῆς ὀπώρας, ἣ πολλὴ περὶ τὸν ποταμὸν γεννᾶται. φέρει δὲ ἡ γῆ σχεδὸν καρπὸν ἀεὶ νέον, καὶ μέντοι καὶ τὴν ὄρυζαν πολλήν τε καὶ αὐτόματον, ᾧ χρῶνται ὅταν τὸ τῆς ὀπώρας ἐπιλείπῃ. τὸ δ' ἄλλου τινὸς ἅψασθαι, ἢ ὅλως θίγειν ἐμψύχου τροφῆς, ἴσον καὶ τῇ ἐσχάτῃ ἀκαθαρσίᾳ τε καὶ ἀσεβείᾳ νενόμισται. καὶ τοῦτο αὐτοῖς τὸ δόγμα. θρησκεύουσί τε τὸ θεῖον, καὶ εὐσεβοῦσι περὶ αὐτὸ καθοσιοῦνται. τὸν τοίνυν χρόνον τῆς ἡμέρας καὶ τῆς νυκτὸς τὸ πλεῖστον εἰς ὕμνους τῶν θεῶν ἀπένειμαν καὶ εὐχὰς, ἑκάστου ἰδίαν καλύβην ἔχοντος, καὶ ὡς ἐνὶ μάλιστα ἰδιάζοντος· κοινῇ γὰρ Βραχμᾶνες μένειν οὐκ ἀνέχονται· ἀλλ' ὅταν τοῦτο συμβῇ, ἀναχωρήσαντες

ἐπὶ πολλὰς ἡμέρας οὐ φθέγγονται· πολλάκις δὲ νηστεύουσι· Σαμαναῖοι δέ εἰσι μὲν, ὡς ἔφαμεν, λογάδες. ὅταν δὲ μέλλει εἰς τὸ τάγμα τις ἐγγράφεσθαι ἄρχεσθαι, πρόσεισι τοῖς ἄρχουσι τῆς πόλεως, ἢ τῆς κώμης, καὶ τῶν κτημάτων ἐξίσταται, καὶ πάσης τῆς ἄλλης οὐσίας· ξυρησάμενος δὲ τοῦ σώματος τὰ περιττὰ λαμβάνει στολὴν, ἄπεισί τε πρὸς Σαμαναίους, οὔτε πρὸς γυναῖκα οὔτε πρὸς τέκνα, εἰ τύχοι κεκτημένος, ἐπιστρέφων ἢ τινα λόγον ἔτι ποιούμενος, ἢ πρὸς αὐτὸν ὅλως νομίζων. καὶ τῶν μὲν τέκνων ὁ βασιλεὺς κήδεται, ὅπως ἔχωσι τὰ ἀναγκαῖα, τῆς δὲ γυναικὸς οἱ οἰκεῖοι. ὁ δὲ βίος τοῖς Σαμαναίοις ἐστὶ τοιοῦτος. Ἔξω τῆς πόλεως διατρίβουσι διημερεύοντες ἐν τοῖς περὶ τοῦ θείου λόγοις. ἔχουσι δὲ οἴκους καὶ τεμένη ὑπὸ τοῦ βασιλέως οἰκοδομηθέντα, ἐν οἷς οἰκονόμοι εἰσὶν, ἀπότακτόν τι λαμβάνοντες παρὰ τοῦ βασιλέως εἰς τροφὴν τῶν συνιόντων. ἡ δὲ παρασκευὴ γίνεται ὀρύζης, καὶ ἄρτων, καὶ ὀπώρας, καὶ λαχάνων. καὶ εἰσελθόντων εἰς τὸν οἶκον ὑποσημαίνοντι κώδωνι οἱ μὴ Σαμαναῖοι ἐξίασιν, οἱ δὲ προσεύχονται. εὐξαμένων δὲ πάλιν διακωδωνίζειν, καὶ οἱ ὑπηρέται ἑκάστῳ τρύβλιον δόντες (δύο γὰρ ἐκ ταὐτοῦ οὐκ ἐσθίουσι) τρέφοντες αὐτοὺς τῇ ὀρύζῃ· τῷ δὲ δεομένῳ ποικιλίας προστίθεται τὸ λάχανον ἢ τῆς ὀπώρας τι. τραφέντες δὲ συντόμως ἐπὶ τὰς αὐτὰς διατριβὰς ἐξίασιν. ἄγυναιοι δέ εἰσι πάντες, καὶ ἀκτήμονες. καὶ τοσοῦτον αὐτῶν τε καὶ τῶν Βραχμάνων σέβας ἔχουσιν οἱ ἄλλοι, ὥστε καὶ τὸν βασιλέα ἀφικνεῖσθαι παρ' αὐτοὺς, καὶ ἱκετεύειν εὔξασθαί τι καὶ δεηθῆναι ὑπὲρ τῶν καταλαμβανόντων τὴν χώραν, ἢ συμβουλεῦσαι τὸ πρακτέον. αὐτοὶ δὲ οὕτως πρὸς θάνατον διάκεινται, ὡς τὸν μὲν τοῦ ζῆν χρόνον, ὥσπερ ἀναγκαίαν τινὰ τῇ φύσει λειτουργίαν, ἀκουσίως ὑπομένειν, σπεύδειν δὲ τὰς ψυχὰς ἀπολῦσαι τῶν σωμάτων· καὶ πολλάκις ὅταν εὖ ἔχειν σκέψωνται, μηδενὸς αὐτοῖς ἐπείγοντος κακοῦ μηδὲ ἐξελαύνοντος, ἐξίασι τοῦ βίου, προειπόντες μέν-

λοι τοῖς ἄλλοις, καὶ οὐκ ἔστιν οὐδεὶς ὁ κωλύσων· ἀλλὰ πάντες αὐτοὺς εὐδαιμονίζοντες πρὸς τοὺς οἰκείους τῶν τεθνηκότων ἐπιστέλλουσί τινα. οὕτως βεβαίαν καὶ ἀληθεστάτην αὐτοί τε καὶ οἱ πολλοὶ ταῖς ψυχαῖς τὴν μετ' ἀλλήλων εἶναι δίαιταν πεπιστεύκασι. οἱ δ' ἐπειδὰν ὑπακούσωσι τῶν ἐντεταλμένων αὐτοῖς, πυρὶ τὸ σῶμα παραδόντες, ὅπως δὴ καθαρωτάτην ἀποκρίνωσι τοῦ σώματος τὴν ψυχὴν, ὑμνούμενοι τελευτῶσι. ῥᾷον γὰρ ἐκείνους εἰς τὸν θάνατον οἱ φίλτατοι ἀποπέμπουσιν, ἢ τῶν ἄλλων ἀνθρώπων ἕκαστοι τοὺς πολίτας εἰς μηκίστας ἀποδημίας. καὶ σφᾶς μὲν αὐτοὺς δακρύουσιν ἐν τῷ ζῆν διαμείναντας, ἐκείνους δὲ μακαρίζουσι τὴν ἀθάνατον λῆξιν ἀπολαμβάνοντας.

CUM Indorum Respublica in multas partes distributa sit, genus quoddam Sapientum apud ipsos est, quos Græci Gymnosophistas vocare consueverunt. Horum duæ factiones sunt; Brachmanum altera, altera Samanæorum. Brachmanes per generis successionem, non secus ac Sacerdotium, hujuscemodi divinam sapientiam admittunt. Samanæi selecti quidem sunt, & ex quibuslibet qui divinæ sapientiæ se tradere voluerint, constant. Eorum vita ad hunc modum est; quemadmodum Bardesanes Babylonius memoriæ prodit, qui a patrum nostrorum tempestate extitit, cum illisque Indis est versatus qui Damadinii missi ad Cæsarem fuerant. Brachmanes enim omnes unius sunt generis, ex unius patris uniusque matris origine omnes deducti. Samanæi vero non ita, sed ex omni Indorum gente, ut jam diximus, collecti. Neque igitur sub regno degunt Brachmanes, neque cum aliis munus ullum

obeunt: sed ex ipsis ii qui Philosophi sunt, alii in monte, alii apud Gangem fluvium habitant. Ac montani quidem pomis & lacte bubulo herbis coagulato vescuntur: fluviales ex pomis etiam ipsi victum comparant, quæ multa apud fluvium nascuntur: terra enim fere semper recentes fructus producit: quinetiam oryzæ copiam sponte procreat, qua, siquando poma defecerint, uti quoque in cibo solent: Aliud vero quippiam degustare, aut alimentum ex animatis vel omnino tangere, immunditiæ extremæ atque impietati non dissimile apud ipsos habetur. Atque hæc quidem eorum est opinio. Cultum Deo religiose ac pie exhibent: majorem enim diei ac noctis partem hymnis in Deos ac precibus dicarunt. Singuli tamen in propriis tuguriis manent, & quammaxime fieri potest soli morantur. Simul enim versari Brachmanes, ac multum colloqui, non admodum patiuntur: sed cum id forte contigerit, recessione inde facta in multos dies postea non loquuntur: sæpe etiam jejunant. Samanæi vero electi, ut diximus, sunt: in quorum collegium cum quispiam est adsciscendus, ad principes civitatis aut vici, cujuscunque fuerit, accedit; atque ibi bonis suis facultatibusque omnibus repudiatis, atque supervacua omni corporis parte detonsa stolam accipit: atque ita nulla neque uxoris neque liberorum, si forte adsint, ratione habita, quasi ad se nihil omnino amplius pertineant, ad Samanæos recedit. Regi liberorum educandorum, cognatis uxoris cura relinquitur. Vita Samanæorum hujusmodi est; Extra urbem commorantur, ac totum diem in divinis colloquiis traducunt, ubi domos & fana a Rege extructa habent: in quibus œconomi constituti sunt, qui certam quandam mercedem

ad

